eul_wid: nno-ab

*Πολύβιος ὁ Σαρδιανός* · Polybius of Sardis

# Fragments-Figures

*Ἀποσπάσματα περὶ σχημάτων*

**Period:** *Ῥωμαϊκή* Roman
**Dialect:** *Κοινή* Koine
**Domain:** *Ῥητορική* Oratory
**Format:** *Λόγος* Oration

105 (1t) ΠΟΛΥΒΙΟΥ ΣΑΡΔΙΑΝΟΥ ΠΕΡΙ ΣΧΗΜΑΤΙΣΜΟΥ. Μετασχηματισμός ἐστι λέξεως συνήθους κίνησις μέτρου χάριν ἢ κατασκευῆς, ὡς ἐν τῷ κραδίῃ· ἐμφαίνει γὰρ τὴν τοῦ σπλάγχνου ἰδιότητα, ὅτι κραδαίνεται διηνεκῶς. συστολή ἐστιν ἔνδεια χρόνου, γίνεται δὲ ἤτοι διὰ χρόνου παρὰ φύσιν συστελλομένου, οὐκ ἐάσουσιν ἐμοὶ δόμεναι βιὸν ἠδὲ φαρέτραν. μετασχηματίζουσι δὲ ἤτοι γένος, οἷον μηνιθμὸν μὲν ἀπορρῖψαι, ἀντὶ τοῦ μῆνιν, καὶ μήτοι τι θεῶν μήνιμα γένωμαι· δείελος ὀψὲ δύων· καὶ μένον δ’ ἐπὶ ἕσπερον ἐλθεῖν, ἀντὶ ἑσπέραν· ἢ ἀριθμόν, μειδιόων βλοσυροῖσι προσώπασιν· ἢ πτῶσιν, Πατροκλῆος δειλοῖο καὶ Σαρπήδοντος ἑταῖρον, ἀντὶ τοῦ Σαρπηδόνος· ἢ διαλύουσι μίαν λέξιν εἰς δύο, πόλιν ἄκρην ἀντὶ τοῦ ἀκρόπολιν, καὶ Σάμου ὑληέσσης Θρηϊκίης, ἀντὶ Σαμοθρᾴκης· ἢ δύο εἰς μίαν λέξιν σχηματίζουσι· τὸν γοῦν καθ’ ἕνα ἄνδρα ἀνδρακὰς ἔφη ὁ ποιητής, καὶ τὸ κατὰ μόνον μουνὰξ ὀρχήσασθαι· ἢ τὴν σύνθεσιν τῆς λέξεως ἐναλλάττουσιν ὡς παρὰ Σοφοκλεῖ, οἱ γὰρ γύνανδροι καὶ λέγειν ἠσκηκότες, ἀντὶ τοῦ ἀνδρόγυνοι.

106 γίνεται δὲ μετασχηματισμὸς καὶ ὅταν τις τὸ κύριον κατὰ μείωσίν τινα προενέγκηται. Ὅμηρος ἵππους δ’ Αὐτομέδων ἠδ’ Ἄλκιμος, ἀντὶ τοῦ Ἀλκιμέδων. ΠΕΡΙ ΤΩΝ ΤΗΣ ΚΑΤΑΣΚΕΥΗΣ ΕΙΔΩΝ. Ὁμοίωσίς ἐστι λόγος, καθ’ ὃν ὁμοιοῦμεν ἕτερον ἑτέρῳ. εἴδη δὲ αὐτῆς τρία, παραβολή, παράδειγμα, εἰκών. παραβολή ἐστι πρᾶγμα πράγματι παραβαλλόμενον κατά τι οἰκεῖον αὐξήσεως ἢ ἐμφάσεως ἢ σαφηνείας ἕνεκα, αὐξήσεως μέν ὡς δ’ ὅτ’ ἂν ἀστράπτῃ πόσις Ἥρης ἠϋκόμοιο, ὡς πυκίν’ ἐν στήθεσσιν ἀνεστενάχιζ’ Ἀγαμέμνων· ἐμφάσεως δέ, ἐν δ’ ἔπες’, ὡς ὅτε κῦμα θοῇ ἐνὶ νηῒ πέσῃσι λάβρον. σαφηνείας δ’ ἕνεκα, ἐπὶ δ’ ὄρνυτο δῖος Ὀδυσσεὺς ἄγχι μάλ’, ὡς ὅτε τίς τε γυναικὸς ἐϋζώνοιο στήθεός ἐστι κανών, ὅντ’ εὖ μάλα χειρὶ τανύσσῃ πήνιον ἐξέλκουσα παρὲκ μίτον. Εἰσὶ δὲ τῶν παραβολῶν αἱ μὲν ἀνταποδοτικαί, αἱ δὲ ἀπόλυτοι, ἀνταποδοτικαὶ μὲν αἱ τοιαῦται, ὡς δὲ λέων ἐν βουσὶ θορὼν ἐξ αὐχένα ἄξει πόρτιος ἠὲ βοός, καὶ ἑξῆς· ὣς τοὺς ἀμφοτέρους ἐξ ἵππων Τυδέος υἱὸς βῆσε κακῶς ἀέκοντας.

107 καὶ ἔστιν ἀνταποδιδόμενος τῇ παραβολῇ. ἀπόλυτοι δέ εἰσιν αἱ δίχα ἀνταποδόσεως λεγόμεναι, οἷον ὥστε γὰρ ἢ παῖδες νεαροὶ χῆραί τε γυναῖκες ἀλλήλοισιν ὀδύρονται οἶκόνδε νέεσθαι. Παράδειγμα δέ ἐστι λόγος διὰ τῆς ὁμοίων παραθέσεως προτροπὴν ἢ ἀποτροπὴν ἢ ἀπόδειξίν τινων ἔχων· προτροπὴν μὲν ἢ οὐκ ἀΐεις οἷον κλέος ἔλλαβε δῖος Ὀρέστης, καὶ τὰ ἑξῆς, ἀποτροπὴν δὲ οὐδὲ γὰρ οὐδὲ Δρύαντος υἱὸς κρατερὸς Λυκόεργος· ἀπόδειξιν δὲ τὸ παράδειγμα οὕτως ἔχει, σχέτλιοι ἐστὲ θεοὶ ζηλήμονες ἔξοχον ἄλλων οἵ τε θεαῖς ἀγάασθε παρ’ ἀνδράσιν

εὐνάζεσθαι. εἶτα, ὡς μὲν ὅτ' Ὠρίων' ἕλετο ῥοδοδάκτυλος Ἠώς· ὡς δ' ὁπότ' Ἰασίωνι ἐϋπλόκαμος Δημήτηρ, ὡς αὖ νῦν μοι ἀγᾶσθε θεοὶ βροτὸν ἄνδρα παρεῖναι. παράκειται τῷ παραδείγματι καὶ ἡ καλουμένη ἐπαγωγή. ἐπαγωγὴ δέ ἐστιν, ὅταν τι τῶν ὁμοίων προθέντες ἐπάγωμεν, εἰς ὃ συμπείθομεν, οἷον μήτι τοι δρυτόμος μέγ' ἀμείνων, ἠὲ βίῃφι, μήτι δ' αὖτε κυβερνήτης ἐνὶ οἴνοπι πόντῳ, νῆα θοὴν ἰθύνει ἐρεχθομένην ἀνέμοισιν· εἶτ' ἐπάγει, μήτι δ' ἡνίοχος περιγίνεται ἡνιόχοιο. Εἰκών ἐστι λόγος εἴδους εἴδει παρατεθεὶς ὁλοσχερῶς ἢ ἀπὸ μέρους· ὁλοσχερῶς μὲν Ἀρτέμιδι ἰκέλη ἠὲ χρυσῇ Ἀφροδίτῃ· ἀπὸ μέρους δέ, ὄμματα καὶ κεφαλὴν ἴκελος Διῒ τερπικεραύνῳ.

108 Ἄρεϊ δὲ ζώνην, στέρνον δὲ Ποσειδάωνι. Παράκειται δὲ τῇ εἰκόνι ἐννέα, εἰκονισμός, εἰκονογραφία, ὑποτύπωσις, εἰδωλοποιΐα, εἰκασία, εἰδικὴ ὁμοίωσις, χαρακτηρισμός, τοποθεσία καὶ τοπογραφία. εἰκονισμός ἐστι σώματος ἰδίως ἀπόδοσις ἐξ ἱστορίας λαμβανόμενος, οἷον γυρὸς ἐν ὤμοισιν, μελανόχροος, οὐλοκάρηνος. καὶ τὸ ἐπὶ Θερσίτου φολκὸς ἔην, χωλὸς δ' ἕτερον πόδα. τὸ δ' αὐτὸ καὶ εἰκονογραφία ἂν εἴη, ὅταν κατὰ τὴν ἀπόδοσιν τῆς μορφῆς ὁμοιώσεως ἐφάπτηται. Ὑποτύπωσίς ἐστι σώματος ἰδίως ἀπόδοσις πεπλασμένου, καὶ γάρ τε λιταί εἰσι Διὸς κοῦραι μεγάλοιο, χωλαί τε ῥυσαί τε παραβλῶπές τ' ὀφθαλμώ. Παράκειται δ' αὐτῇ εἰδωλοποιΐα, ὅταν δαίμονάς τινας ἀπὸ πραγμάτων ἀναπλάττωμεν, ὡς τὰς λιτὰς Ὅμηρος. Εἰκασία ἐστὶ φράσεως ὑπόληψις ἰδιώσεως μορφὴν ἐμφαίνουσα, εἰ μέν τις θεός ἐσσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν, Ἀρτέμιδί σε ἔγωγε Διὸς κούρῃ μεγάλοιο εἶδός τε μέγεθός τε φυήν τ' ἄγχιστα ἐΐσκω. Ἡ δὲ εἰδικὴ ὁμοίωσίς ἐστι παράθεσις ὁμοίων χαρακτήρων, οἷον κείνου γὰρ τοιοίδε πόδες, τοιαίδε τε χεῖρες, ὀφθαλμῶν τε βολαί, κεφαλή τ' ἐφύπερθέ τε χαῖται. Χαρακτηρισμός ἐστιν ὑποτύπωσις ἰδιώματος ψυχῆς, οἷον εὖ δὲ σὺ οἶσθα, γεραιὲ διοτρεφές, οἷον ἐκεῖνος δεινὸς ἀνήρ· τάχα κεν καὶ ἀναίτιον αἰτιόῳτο.

109 Τοποθεσία ἐστὶ τόπων ἰδίων ἀπόδοσις ὑφεστώτων, οἷά ἐστι τὰ ἐπὶ τῆς Ἰθάκης, Φόρκυνος μὲν ὅδ' ἐστὶ λιμὴν ἁλίοιο γέροντος ἐν δήμῳ Ἰθάκης· δύο δὲ προβλῆτες ἐν αὐτῇ, καὶ ἑξῆς. Τοπογραφία ἐστὶ τόπου ἰδίως ἀπόδοσις πεπλασμένου, ὡς ἔχει ἥ τε Καλυψοῦς νῆσος, ὕλη δὲ σπέος ἀμφὶ πεφύκει τηλεθόωσα· καὶ τὰ ἐπὶ τῆς Λεχείας, νῆσος ἔπειτα Λέχεια παρακεκλιμένη τετάνυσται. Εἶδος δ' ἂν εἴη τῆς ὁμοιώσεως καὶ ἡ καλουμένη διαφορά, ἥτις πᾶσι τοῖς ἄλλοις τῆς ὁμοιώσεως εἴδεσιν ἀντέστραπται, οἷον οὔτε θαλάσσης κῦμα τόσον βοάᾳ ποτὶ χέρσον, καὶ τὰ ἑξῆς.